καὶ αὐτὸν μαιευτικόν, καὶ ἃ ἂν ἐρωτῶ προθυμοῦ ὅπως c
οἷός τ' εἶ οὕτως ἀποκρίνασθαι· καὶ ἐὰν ἄρα σκοπούμενός
τι ὧν ἂν λέγῃς ἡγήσωμαι εἴδωλον καὶ μὴ ἀληθές, εἶτα
ὑπεξαιρῶμαι καὶ ἀποβάλλω, μὴ ἀγρίαινε ὥσπερ αἱ πρω-
τοτόκοι περὶ τὰ παιδία. Πολλοὶ γὰρ ἤδη, ὦ θαυμάσιε,
πρός με οὕτω διετέθησαν, ὥστε ἀτεχνῶς δάκνειν ἕτοιμοι
εἶναι, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι, καὶ οὐκ οἴον-
ταί με εὐνοίᾳ τοῦτο ποιεῖν, πόρρω ὄντες τοῦ εἰδέναι ὅτι
οὐδεὶς θεὸς δύσνους ἀνθρώποις, οὐδ' ἐγὼ δυσνοίᾳ τοιοῦτον d
οὐδὲν δρῶ, ἀλλά μοι ψεῦδός τε συγχωρῆσαι καὶ ἀληθὲς
ἀφανίσαι οὐδαμῶς θέμις. Πάλιν δὴ οὖν ἐξ ἀρχῆς, ὦ
Θεαίτητε, ὅτι ποτ' ἐστὶν ἐπιστήμη, πειρῶ λέγειν· ὡς δ'
οὐχ οἷός τ' εἶ, μηδέποτ' εἴπῃς. Ἐὰν γὰρ θεὸς ἐθέλῃ καὶ
ἀνδρίζῃ, οἷός τ' ἔσῃ.

ΘΕΑΙ. Ἀλλὰ μέντοι, ὦ Σώκρατες, σοῦ γε οὕτω παρα-
κελευομένου αἰσχρὸν μὴ οὐ παντὶ τρόπῳ προθυμεῖσθαι ὅτι
τις ἔχει λέγειν. Δοκεῖ οὖν μοι ὁ ἐπιστάμενός τι αἰσθάνεσθαι e
τοῦτο ὃ ἐπίσταται, καὶ ὥς γε νυνὶ φαίνεται, οὐκ ἄλλο τί
ἐστιν ἐπιστήμη ἢ αἴσθησις.

ΣΩ. Εὖ γε καὶ γενναίως, ὦ παῖ· χρὴ γὰρ οὕτως ἀποφαι-
νόμενον λέγειν. Ἀλλὰ φέρε δὴ αὐτὸ κοινῇ σκεψώμεθα,
γόνιμον ἢ ἀνεμιαῖον τυγχάνει ὄν. Αἴσθησις, φῄς, ἐπι-
στήμη ;

ΘΕΑΙ. Ναί.

ΣΩ. Κινδυνεύεις μέντοι λόγον οὐ φαῦλον εἰρηκέναι περὶ
ἐπιστήμης, ἀλλ' ὃν ἔλεγε καὶ Πρωταγόρας. Τρόπον δέ τινα 152 a
ἄλλον εἴρηκε τὰ αὐτὰ ταῦτα. Φησὶ γάρ που « πάντων
χρημάτων μέτρον » ἄνθρωπον εἶναι, « τῶν μὲν ὄντων ὡς
ἔστι, τῶν δὲ μὴ ὄντων ὡς οὐκ ἔστιν. » Ἀνέγνωκας γάρ
που ;

ΘΕΑΙ. Ἀνέγνωκα καὶ πολλάκις.